possessions/property, Δημόκριτος 40 οὔτε σώμασιν οὔτε *χ ρ ή μ α σ ι ν* εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ' ὀρθοσύνη καὶ πολυφροσύνη 50 ὁ *χ ρ η μ ά τ ω ν* παντελῶς ἥσσων οὐκ ἄν ποτε εἴη δίκαιος 78 *χ ρ ή μ α τ α* πορίζειν μὲν οὐκ ἀχρεῖον, ἐξ ἀδικίης δὲ πάντων κάκιον 219 *χ ρ η μ ά τ ω ν* ὄρεξις, ἣν μὴ ὁρίζηται κόρῳ, πενίης ἐσχάτης πολλὸν χαλεπωτέρη 222 ἡ τέκνοις ἄγαν *χ ρ η μ ά τ ω ν* συναγωγὴ πρόφασίς ἐστι φιλαργυρίης τρόπον ἴδιον ἐλέγχουσα 279.2-4 τοῖς παισὶ μάλιστα χρὴ τῶν ἀνυστῶν δατεῖσθαι τὰ *χ ρ ή μ α τ α*, καὶ ἅμα ἐπιμέλεσθαι αὐτῶν, μή τι ἀτηρὸν ποιέωσι διὰ χειρὸς ἔχοντες· ἅμα μὲν γὰρ πολλὸν φειδότεροι γίγνονται ἐς τὰ *χ ρ ή μ α τ α* καὶ προθυμότεροι κτᾶσθαι, καὶ ἀγωνίζονται ἀλλήλοισιν 280 ἔξεστιν... παιδεῦσαί τε τοὺς παῖδας ... καὶ σωτηρίην περιβαλέσθαι τοῖς τε *χ ρ ή μ α σ ι* καὶ τοῖς σώμασιν αὐτῶν 281 ὥσπερ ἐν [μὲν] τοῖς ἕλκεσι φαγέδαινα κάκιστον νόσημα, οὕτως ἐν τοῖς *χ ρ ή μ α σ ι* 282 *χ ρ η μ ά τ ω ν* χρῆσις ξὺν νόῳ μὲν χρήσιμον εἰς τὸ ἐλευθέριον εἶναι καὶ δημωφελέα, ξὺν ἀνοίῃ δὲ χορηγίη ξυνὴ (?) 286 εὐτυχὴς ὁ ἐπὶ μετρίοισι *χ ρ ή μ α σ ι ν* εὐθυμεόμενος, δυστυχὴς δὲ ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος **4.** Πρᾶγμα, thing, Δημόκριτος 182 τὰ μὲν καλὰ *χ ρ ή μ α τ α* τοῖς πόνοις ἡ μάθησις ἐξεργάζεται.

**χρήμη.** Χρεία/ἀνάγκη, need/needfulness, Δημόκριτος 277 ὅτεῳ *χ ρ ή μ η* τεά ἐστι παῖδα ποιήσασθαι.

**χρῆναι 1.** Πρέπει/ταιριάζει, it must/it fits, Ξενοφάνης 1.13 *χ ρ ὴ* δὲ πρῶτον μὲν θεὸν ὑμνεῖν εὔφρονας ἄνδρας 22.1 πὰρ πυρὶ *χ ρ ὴ* τοιαῦτα λέγειν χειμῶνος ἐν ὥρῃ Δημόκριτος 192 ἔστι ῥᾴδιον μὲν ἐπαινεῖν ἃ μὴ *χ ρ ὴ* καὶ ψέγειν 265.4 ὥσπερ ⟨γὰρ τὸν⟩ τὰς παρακαταθήκας ἀποδιδόντα οὐ *χ ρ ὴ* ἐπαινεῖσθαι. || **χρεὼν ἐστί.** Διογένης 1.2 δοκεῖ μοι *χ ρ ε ὼ ν ε ἶ ν α ι* **2.** Πρέπει/ἐπιβάλλεται, it must/it is required, Ἡράκλειτος 35 *χ ρ ὴ* γὰρ εὖ μάλα πολλῶν ἴστορας φιλοσόφους ἄνδρας εἶναι 80 εἰδέναι δὲ *χ ρ ὴ* τὸν πόλεμον ἐόντα ξυνὸν 114 ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι *χ ρ ὴ* τῷ ξυνῷ πάντων Δημόκριτος 3 τὸν εὐθυμεῖσθαι μέλλοντα *χ ρ ὴ* μὴ πολλὰ πρήσσειν 6 γιγνώσκειν τε *χ ρ ὴ* ... ἄνθρωπον τῷδε τῷ κανόνι, ὅτι ἐτεῆς ἀπήλλακται 65 πολυνοΐην, οὐ πολυμαθίην ἀσκέ-

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ